τοῦ θεοῦ τὸ ἐκ ταύτης ἐναποκρύπτων καύχημα ἐν πνεύματι ταπεινώσεως, ἵνα παῖς τις ἀχρεῖος παρ᾽ ἑαυτῷ διὰ παντὸς τῇ διανοίᾳ φαίνηται, ὡς ἀλλότριος ὢν τῆς ἑαυτοῦ ἀξίας τῇ ἐπιθυμίᾳ τῆς ταπεινώσεως. Ὅπερ δεῖ καὶ ἡμᾶς ποιοῦντας πᾶσαν τιμὴν ἀποφεύγειν καὶ δόξαν διὰ τὸ ὑπερβάλλον τοῦ πλούτου τῆς ἀγάπης τοῦ οὕτως ἡμᾶς ἀγαπήσαντος κυρίου.

ιδʹ.

Ὁ ἐν αἰσθήσει καρδίας ἀγαπῶν τὸν θεὸν ἐκεῖνος ἔγνωσται ὑπ᾽ αὐτοῦ· ὅσον γάρ τις ἐν αἰσθήσει τῆς ψυχῆς παραδέχεται τὴν ἀγάπην τοῦ θεοῦ, τοσοῦτον γίνεται ἐν τῇ ἀγάπῃ τοῦ θεοῦ. Διὸ λοιπὸν τοῦ φωτισμοῦ τῆς γνώσεως ἐν ἔρωτί τινι σφοδρῷ ὁ τοιοῦτος ὑπάρχει, ἄχρις ἂν αὐτῆς τῆς τῶν ὀστέων αἰσθήσεως αἴσθηται, οὐκέτι εἰδὼς ἑαυτόν, ἀλλ᾽ ὅλος ὑπὸ τῆς ἀγάπης ἠλλοιωμένος τοῦ θεοῦ. Ὁ τοιοῦτος δὲ καὶ πάρεστιν ἐν τῷ βίῳ καὶ οὐ πάρεστιν· ἔτι γὰρ ἐνδημῶν τῷ ἑαυτοῦ σώματι ἐκδημεῖ διὰ τῆς ἀγάπης τῇ κινήσει τῆς ψυχῆς ἀπαύστως πρὸς τὸν θεόν. Ἀνενδότως γὰρ λοιπὸν διὰ τοῦ πυρὸς τῆς ἀγάπης τὴν καρδίαν καιόμενος ἀνάγκῃ τινὶ πόθου κεκόλληται τῷ θεῷ, ὡς ἐκστὰς ἅπαξ τῆς ἑαυτοῦ φιλίας τῇ ἀγάπῃ τοῦ θεοῦ. Εἴτε γὰρ ἐ ξ έ σ τ η μ ε ν, φησίν, θ ε ῷ, εἴ τ ε σ ω φ ρ ο ν ο ῦ μ ε ν, ὑ μ ῖ ν.